χρηστότητος τοῦ ἁγίου πνεύματος ἐπὶ τὸ λέγειν ἔρχεσθαι. Ὅπου μὲν γὰρ πενία, φέρει τὴν ἄγνοιαν· ὅπου δὲ πλοῦτος, οὐ συγχωρεῖ τὸ λέγειν. Μεθύουσα γὰρ τότε ἡ ψυχὴ τῇ ἀγάπῃ τοῦ θεοῦ σιγώσῃ φωνῇ θέλει κατατρυφᾶν τῆς δόξης τοῦ κυρίου. Τὴν οὖν μεσότητα δεῖ ἐπιτηροῦντα τῆς ἐνεργείας εἰς λόγους θεηγόρους ἔρχεσθαι. Τοῦτο μὲν γὰρ τὸ μέτρον εἶδός τι λόγων ἐνδόξων χαρίζεται, ἡ δὲ τῆς ἐλλάμψεως πολυτέλεια τὴν πίστιν τρέφει τοῦ λέγοντος ἐν πίστει, ἵνα πρῶτος ὁ διδάσκων τῶν καρπῶν γεύσηται δι' ἀγάπης τῆς γνώσεως. Τὸν κοπιῶντα γάρ, φησίν, γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

θ'.

Τοῦ μὲν ἑνὸς ἁγίου πνεύματός ἐστι χαρίσματα ἥ τε σοφία καὶ ἡ γνῶσις ὡς καὶ πάντα τὰ θεῖα χαρίσματα, ἰδίαν δὲ ὥσπερ ἕκαστον τὴν ἐνέργειαν ἔχει. Διόπερ ἄλλῳ μὲν δίδοσθαι σοφίαν, ἄλλῳ δὲ γνῶσιν κατὰ τὸ αὐτὸ πνεῦμα ὁ ἀπόστολος μαρτυρεῖ. Ἡ μὲν γὰρ γνῶσις πείρᾳ τὸν ἄνθρωπον συνάπτει τῷ θεῷ, εἰς λόγους τῶν πραγμάτων τὴν ψυχὴν μὴ κινοῦσα. Διὸ καί τινες τῶν τὸν μονήρη φιλοσοφούντων βίον φωτίζονται μὲν ὑπ' αὐτῆς ἐν αἰσθήσει, εἰς λόγους δὲ θείους οὐκ ἔρχονται. Ἡ δὲ σοφία εἴπερ μετ' αὐτῆς ἐν φόβῳ δοθῇ τινι, σπάνιον δὲ τοῦτο, αὐτὰς τὰς ἐνεργείας φανεροῖ τῆς γνώσεως· ἐπειδὴ ἡ μὲν τῇ ἐνεργείᾳ, ἡ δὲ τῷ λόγῳ φωτίζειν εἴωθεν. Ἀλλὰ τὴν μὲν γνῶσιν εὐχὴ φέρει καὶ πολλὴ ἡσυχία ἐν ἀμεριμνίᾳ